## XII

# ΚΑΤΑ ΜΟΝΟΦΥΣΙΤΩΝ

### Τῷ τιμιωτάτῳ μοναχῷ Μαθουσάλᾳ, Παχώμιος ῥακενδύτης Ζακύνθιος.

Καλῶς ἔφησεν ὁ Ἀπόστολος περὶ τῆς ἐν Χριστῷ ἀγάπης, ὅτι «ἡ ἀγάπη οὐ ζητεῖ τὰ ἑαυτῆς», καὶ διὰ τοῦτο, ἐν κεφαλαίῳ εἰπεῖν, «οὐδέποτε ἐκπίπτει». Τῆς γὰρ σαρκικῆς σχέσεως τὰ ἑαυτῆς ζητούσης δήπου καὶ διὰ τοῦτο παντοίως μεταβαλλομένης, αὕτη πάγιος ἕστηκε καὶ ἀσινὴς ἐκ πάντων τῶν δοκούντων δεινῶν τε καὶ μὴ τοιούτων. Ὅθεν καὶ ἡμεῖς ἐν τοσαύτῃ ζάλῃ τῶν περιστάσεων, ἐν ξενητείᾳ δῆλον ὅτι καὶ πτωχείᾳ καί ἀσθενείᾳ καὶ τῇ λοιπῇ ταλαιπωρίᾳ συζῶντες, καὶ τοσοῦτον μόνον πνέοντες, ὅσον εἰς παραβολὴν καὶ κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς, ἢ ὅσον ζῆν ἐν Χριστῷ μόνον, καὶ οὐδὲν διενηνοχότες τῶν γενομένων κατόχων εἶτα ἀνανηφόντων, μαθόντες σε τὴν διατριβὴν ἔχοντα ἐν Αἰγύπτῳ, ἔνθα ὁ Κύριος ἀνθρωπρεπῶς τὰς χεῖρας φεύγων Ἡρώδου δι' ἡμᾶς ἐξενήτευσε, καὶ λόγοις συνερχόμενον πολλάκις τοῖς τούτου τὴν σάρκωσιν βδελυσσομένοις Ἰακωβίταις καὶ λοιποῖς Μονοφυσίταις, ὥς ποτε καὶ τῷ τούτων ἀρχιερεῖ, καυχωμένῳ ἐπὶ τῷ πλήθει τοῦ ἔθνους τῶν συντυφλωττόντων αὐτῷ, παρεκινήθημεν γράψαι πρός σέ τινα περὶ τοῦ δόγματος ἡμῶν τε καὶ αὐτῶν, ὅσον μόνον εἰς τὸ πληρῶσαι τὴν πρὸς σὲ καὶ τοὺς λοιποὺς ἀδελφοὺς ἡμῶν ἀγάπην καὶ οἱονεὶ παραθῆξαι ὑμᾶς εἰς τὴν τῶν ἐναντίων πάλην. Καὶ γὰρ ἔνθα νῦν πάρεσμεν οὔθ' ἱστορικῶν βιβλίων ὅλως εὐποροῦμεν, οὔθ' ἁπλῶς τῶν ἀναγκαιοτάτων τῆς καθ' ἡμᾶς Γραφῆς, ἐκ δὲ τῆς πολλῆς συγχύσεως καὶ τοῦ χρόνου παραδρομῆς καὶ ὧνπερ διανοίᾳ εἴχομεν ἐπελαθόμεθα. Ἀλλ' ἡ ἀγάπη, ὥς εἶπον, οὐκ ἐᾷ ἡμᾶς τὴν ἑαυτῶν ἀσθένειαν ἐπιγνόντας ἠρεμεῖν, ἀλλ' ἐπιχειροῦμεν, κατὰ τὴν παροιμίαν, ἡλίῳ φῶς δανείζειν ἢ ἀετὸν ἵπτασθαι διδάσκειν, ἐν οἷς ἀντιβολοῦμεν τὴν σὴν ὁσιότητα μετ' εὐνοίας ἅπαντα ἀποδεχθῆναι καὶ ὑπομεῖναί σε ὡς συνετὸν τὴν ἡμῶν προπέτειαν, ὡς πολλάκις καὶ πατέρες παιδίων ψελλίσματος.

Ἐπεὶ δ' ἀνοήτως ἐπὶ τῷ πλήθει τοῦ ἔθνους ἐπαίρονται, ὡς ὅτι Ἀρμένιοι καί τινες τῶν Αἰθιόπων τῆς αὐτῆς αἱρέσεως, ἐπὶ τούτῳ καὶ

[1]) Κώδ. Ἀμβρ. 290 f. 240v—245v. [4]) Α΄ Κορ. 13,58 [22]) ἐν τῇ ᾤᾳ: Ἰστέον ὅτι μετὰ ταῦτα, εὑρεθέντων βιβλίων προσετέθησάν τινες μαρτυρίαι.

[26]) ἐπιγνῶντας Α

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

πρῶτον γινωσκέτωσαν ὅτι ὀλίγοι οἱ τοιοῦτοι πρὸς τὰ λοιπὰ ἔθνη τῶν χριστιανῶν, ὁμολογούντων δύο φύσεις ἐπὶ Χριστοῦ. Τί γὰρ εἰσι τρία ἢ καὶ τέτταρα ἔθνη πρὸς πάντα τά τε τῆς Εὐρώπης καὶ τῆς Ἀσίας; Ἄλλως τε οἱ τοιοῦτοι, καίτοι ὀλίγοι ὄντες, ὅμως ἐξ ἀρχῆς μετὰ πολλῶν σχισμάτων συνέστη ἡ τούτων αἵρεσις καὶ νῦν οὕτως εὑρίσκεται ἔχουσα. Οἱ μὲν γὰρ αὐτῶν οὐράνιον εἶναι φασὶ τὴν σάρκα Χριστοῦ καὶ ἄφθαρτον, οἱ δε τοὐναντίον. Καὶ οἱ μὲν αὐτῶν τὴν περιτομὴν δέχονται, οἱ δ' οὔ. Καὶ οἱ μὲν ἄλλους νόμους τῶν τε θυσιῶν αὐτῶν καὶ τοῦ βαπτίματος καὶ τῶν λοιπῶν κατ' αὐτοὺς μυστηρίων κέκτηνται, οἱ δὲ ἄλλους. Οἱ δὲ τὰς δύο φύσεις ὁμολογοῦντες, ὁμοίως περὶ τούτων δοξάζουσιν ‖ ἅπαντες καὶ ἐν τοῖς λοιποῖς δόγμασι καὶ μυστηρίοις ὁμοίως φέρονται, f 241r ἐκτὸς τῶν ὑποκειμένων τῇ Ἐκκλησίᾳ τῆς παλαιᾶς Ῥώμης. Οὗτοι γὰρ μετὰ ταῦτα δι' οἰκείαν δόξαν τῶν λοιπῶν ἐχωρίσθησαν Ἐκκλησιῶν, πλῆθος μὲν ὄντες ἐθνῶν, ἑνὶ δ' ὅμως ὑποκείμενοι θρόνῳ καὶ μιᾶς διαλέκτου χρώμενοι γράμματι. Ἀλλ' οὐ διὰ τοῦτο ἠλάττωται ἡ τοῦ Χριστοῦ Ἐκκλησία, διὰ τὴν ἀφαίρεσιν δηλαδὴ τῆς Δυτικῆς Ἐκκλησίας. Εἰσὶ γὰρ εἰσέτι πάμπολλα ἔθνη τὸν λόγον τῆς ἀληθείας ἐν διαφόροις διαλέκτοις καὶ γράμμασι κρατοῦντες· οἵ τε γὰρ τὴν Ἑλλάδα καὶ Μακεδονίαν, Θρᾴκην τε καὶ Πόντον καὶ τὰ παράλια πάντα μέχρι Φοινίκης καὶ οἱ τὰς νήσους οἰκοῦντες Ῥωμαῖοι καὶ σὺν αὐτοῖς Ἰλλυροί, Τριβαλοί τε καὶ Λαζοὶ καὶ Γότθοι, ὡσαύτως Δάκες, Πανωνοί, Μυσοί, Ῥώς, μεθ' οὓς Ἀλανοί, Ζικχοί, Ἀβασγοί, Ἴβηρες ἀνατολικοὶ καὶ ἰδίως τινὲς τῶν τῇ ἀρραβικῇ χρωμένων διαλέκτῳ, οὗτοι πάντες τοῖς αὐτοῖς δόγμασι καὶ ἔθεσι τῆς Χριστοῦ Ἐκκλησίας κατ' οὐδὲν διαφέρουσι. Τὸ δὲ μέγιστον ἡμῶν καύχημα, ὅτι ἁπάντων τῶν αἱρετικῶν ἀρχηγοὺς ἐχόντων τῆς αὐτῶν αἱρέσεως ἀνθρώπους διεφθαρμένους, ὁποῖοι εἰσὶ καὶ οἱ Θεοπασχῖται, οἱ μὲν τὸν Σύρον Ἰάκωβον ἔχοντες, οἱ δὲ Σέργιον, οἱ δὲ Διόσκυρόν τε καὶ Σευῆρον τὸν ἀκέφαλον καὶ ἄλλοι ἄλλον, ἡμεῖς αὐτὸν τὸν Χριστὸν ἔσχομεν ἀρχηγὸν τοῦ δόγματος, ἀφ' οὗ καὶ χριστιανοὶ καλούμεθα. Ὅπερ καὶ πειράσομαι ἀποδεῖξαι ἐξ αὐτοῦ τε τοῦ Εὐαγγελίου καὶ τῶν ἀποστολικῶν ῥήσεων, φημὶ περὶ οὗ διαφερόμεθα Μονοφυσίταις, περὶ τούτου γὰρ ἡμῖν ὁ λόγος. Καὶ πρῶτον μὲν ὅτι μετὰ σαρκὸς εἰς τὸν καθ' ἡμᾶς βίον ὁ Κύριος ἐπεδήμησε· δεύτερον δέ, ὅτι ἐκ τῆς ἀειπαρθένου Μαρίας ταύτην ἔλαβε· τρίτον, ὅτι ἀναλλοίωτοι ἔμειναν αἱ δύο φύσεις τοῦ Χριστοῦ και μετὰ τὴν ἕνωσιν, καὶ ὅσα τούτοις ἑπόμενα.

Ἀλλ' ὅτι μὲν μετὰ σαρκὸς ἐλήλυθε, καὶ οἱ ἄλλως φρονοῦντες πλα-

Ε. 6Α της ΚΕΠΙ ΙΩΑΝΝΙΝΑ 2006

νῶντες πλανῶνται, ἀκουέτωσαν Ἰωάννου τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ λέγοντος «Καὶ ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν». Καὶ ἐν ἑτέρῳ. «Ἐν τούτῳ γινώσκεται τὸ πνεῦμα τοῦ Θεοῦ· πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα ἐκ τοῦ Θεοῦ ἐστι· καὶ πᾶν πνεῦμα, ὃ μὴ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, οὐκ ἔστι ἐκ τοῦ Θεοῦ· καὶ τοῦτό ἐστι τὸ τοῦ ἀντιχρίστου». Τοῦ τε ἀποστόλου Παύλου πρὸς Κορινθίους· «γινώσκετε τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι' ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν, ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε». Καὶ πρὸς Ῥωμαίους· «εἰ γάρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς ἐπερίσσευσε». Καὶ πρὸς Τιμόθεον· «εἷς γὰρ Θεός, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς». Εἰ δὲ μετὰ σαρκὸς
f 241v φασὶν ἐλθεῖν, οὐ μὴν ἐκ τῆς Παρθένου ‖ ταύτην λαβεῖν, ἄρα πόθεν ἄλλοθεν ταύτην ἔλαβε; Καὶ εἰ ἄλλοθεν καὶ οὐκ ἐξ ἡμῶν, οὐκ ἂν εἴη ἄνθρωπος ἡ τοιαύτη σάρξ. Ἀλλ' οὖν ἔχομεν αὐτοῖς μυρία ἐπὶ μυρίοις ἀποδεῖξαι, ὅτι ἐκ τῆς ἀειπαρθένου ἐγεννήθη Ἰησοῦς Χριστός. Ταῦτα δὲ προσεχῶς ἐκ τῆς θεοπνεύστου Γραφῆς, ὡς ἐπηγγειλάμεθα. Καὶ ὁ μὲν πρώτως τὸ εὐαγγέλιον γράψας Ματθαῖος φησί. «Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαυΐδ, υἱοῦ Ἀβραάμ». Εἶτα μετὰ τὸ διελθεῖν ἅπασαν τὴν γενεαλογίαν καὶ καταντῆσαι εἰς Μαρίαν τὴν Θεοτόκον φησίν· «ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστός». Εἰπάτωσαν οὖν, εἰ ὡς διὰ σωλῆνος διῆλθε τῆς Παρθένου ὁ Χριστός, πῶς υἱὸς Ἀβραάμ τε καὶ Δαυΐδ καὶ ἐκ τῆς Παρθένου; μᾶλλον δὲ πῶς αὐτῇ ἐγεννήθη; φησὶ γὰρ ὁ ἄγγελος. «Ἰωσὴφ υἱὸς Δαυΐδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν Ἁγίου· τέξεται δὲ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν». Τό οὖν ἐν αὐτῇ γεννηθῆναι σαφῶς παρίστησιν ἐξ αὐτῆς σαρκωθῆναι τῇ τοῦ Πνεύματος ἐνεργείᾳ. Καὶ πῶς εἴποιεν ἂν ὁ Χριστός, φησί, περὶ ἑαυτοῦ, εἰ οὖν Δαυΐδ Κύριον αὐτὸν καλεῖ πῶς υἱὸς αὐτοῦ ἐστι; Τοῦτο ὅμοιον τῷ «τί μὲ λέγεις ἀγαθόν· οὐδεὶς ἀγαθός, εἰμὴ εἷς ὁ Θεός», οὐκ ἀπόφασις ὄν, ἀλλὰ πρόβλημα, δοκιμάζον τὴν γνώμην τοῦ διαλεγομένου. Ἐπεὶ πῶς παιδίον γέγονε καὶ ἡλικίᾳ προέκοπτε καὶ τριακονταετὴς ἐβαπτίζετο, εἰ μὴ ἦν ἄνθρωπος, ἐν ἐσχάτοις αἰῶσι δι' οἰκονομίαν γενόμενος; Καθ' ἃ που καὶ Παῦλος, γράφων πρὸς Γαλά-

[2]) Ἰωάν. 1, 14. [3]) Α' Ἰωάν. 4, 2 - 3. [7]) Β' Κορ. 8, 9. [9]) Ῥωμ. 5, 15. [12]) Α' Τιμ. 2, 5. [19]) Ματθ. 1, 1. [22]) Αὐτόθι 16. [25]) Αὐτόθι 20 - 21. [31]) Λουκ. 18, 19.

τας, φησί· «ὅτε ἦλθεν τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν». Καὶ πρὸς Ἑβραίους· «ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι». Τίς οὖν ἀκούων ἐνταῦθα τοῦ Ἀποστόλου ἐθελοκακῶν ἀρνηθείη τὴν ἐξ ἡμῶν τοῦ Λόγου σάρκωσιν; Ὁ γὰρ τοιοῦτος τὴν οἰκείαν σωτηρίαν ἀρνεῖται καὶ χείρων Ἰουδαίου. Εἰ μὴ γὰρ ἄνθρωπος γέγονε κατὰ πάντα ἡμῖν ὅμοιος, οὐδὲ ὑπὸ νόμον ἐγένετο ἀνθρώπινον. Ἐγένετο γὰρ ὑπὸ νόμον ὡς ἄνθρωπος, ὁ τὸν νόμον δούς, ἵνα ὅνπερ δέδωκε νόμον πληρώσας ἅγιον ἀποδείξῃ καὶ δικαιώσῃ τοὺς κατέχοντας
αὐτὸν πρὸ τῆς παρουσίας αὐτοῦ, δικαιώσας δὲ || καὶ ἐξαγοράσας τῆς f 242r
τούτου καταδίκης, υἱοθετήσῃ διὰ τοῦ βαπτίσματος. Ἀλλὰ τοὺς μὲν πρὸ τῆς παρουσίας αὐτοῦ υἱοθέτησε διὰ τοῦ βαπτίσματος, οὗ αὐτὸς ἐβαπτίσατο, καὶ διὰ τοῦ πάθους, οὗ ἔπαθεν· ἡμᾶς δὲ υἱοθετεῖ βαπτιζομένους, κἀνταῦθα συνθαπτομένους αὐτῷ. Ὥστε οἱ ἔτι περιτεμνόμενοι ὑπὸ κατάραν εἰσίν, ἀρνούμενοι τὴν ὑπὸ Κυρίου γενομένην ἐλευθερίαν, καὶ οὔτε τῇ σκιᾷ ἐπιμένουσιν, οὔτε τὴν ἀλήθειαν καὶ τελειότητα κατέχουσι, συμφύροντες ταῦτα καὶ φθείροντες ἀμφότερα κακῶς. Κἀντούτῳ τε χείρονες τῶν Ἰουδαίων· καὶ ὅτι Ἰουδαῖοι οὐχ ὑποκεῖσθαι φασὶ τὸν Θεὸν ἀνθρωπίνοις νόμοις, οὗτοι δὲ τοῦτο ὁμολογοῦσιν. Εἰ μὴ γὰρ ὡς ἄνθρωπος τὸν νόμον ἐπλήρωσεν ὁ Χριστός, πάντως ὡς Θεὸς ἐπλήρωσεν· εἰ δὲ μὴ ὅλως ἐπλήρωσε κατ' οὐδένα τρόπον, καὶ οὕτως ἰουδαΐζουσι καὶ τὴν παρουσίαν τοῦ Κυρίου ἀρνοῦνται. Ἐκεῖνοι γάρ, δῆλον ὅτι Ἰουδαῖοι, τὴν μὲν ἔκπτωσιν ἡμῶν

[1]) Γαλ. 4,4 [4]) Ἑβρ. 2, 14 - 18 [31]) ἐν τῇ φᾳ: δῆλον ὅτι Ἀδὰμ καὶ οἱ ἐξ αὐτοῦ πρὸ Χριστοῦ ἐν τῷ Ἅδῃ ὑπῆρχον, ἐκ τοῦ μήτε αὐτὸν μήτε τινα τῶν αὐτοῦ εὐλυτῶσαι τῆς ἀρᾶς, ἀλλ' ἅπαντας ἔξω τοῦ παραδείσου ἐν ὀδύναις καὶ λύπαις ἀποθανεῖν, καὶ ὅτι πανταχοῦ ἡ Γραφὴ τὸν Ἅδην λέγει δέχεσθαι τοὺς ἀποθανόντας, οὐ τὸν παράδεισον, καὶ ἐπίγεια ἀγαθὰ ὑπισχνεῖται καὶ πρόσκαιρα τοῖς Θεὸν εὐαρεστήσασιν, οὐκ αἰώνια· εἰ δέ που καὶ αἰώνια, ἀλλὰ προφητικῶς τοῦτο νοητέον διὰ Χριστοῦ, ἡ δὲ νέα Γραφὴ δῆλον τοῦτο ποιεῖ ἐν πολλοῖς.

Ε.Υ.Δ.Β.Σ.Κ. τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐκ τοῦ παραδείσου ὁμολογοῦσιν, οὐ μὴν καὶ τὴν γενομένην ἀνάκλησιν διὰ μεσίτου τοῦ θεανθρώπου Ἰησοῦ. Οὗτοι δὲ ἀρνούμενοι τὸ σαρκὶ πεπονθέναι τὸν Κύριον, καὶ τὴν τοῦ θανάτου κατάλυσιν ἀρνοῦνται. Ἐν ᾧ γὰρ οὐ πέπονθεν αὐτὸς πειρασθείς, οὐ δύναται τοῖς πειραζομένοις βοηθῆσαι, κατὰ τὸ ἀκόλουθον τοῦ ἀποστολικοῦ νοήματος. Πῶς δὲ καὶ χριστιανοί, οἱ ἀρνούμενοι τὴν χρισθεῖσαν σάρκα; φησὶ γὰρ ὁ Ἀπόστολος Πέτρος. «Ὑμεῖς οἴδατε τὸ γενόμενον ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας μετὰ τὸ βάπτισμα ὃ ἐκήρυξεν Ἰωάννης, Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ, ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι Ἁγίῳ καὶ δυνάμει». Ἐνταῦθα γὰρ τὸ ὄνομα προσέθηκε τῆς ἀνθρωπότητος· εἶτα ἐπάγει, οὐ τὸν ἀπὸ τοῦ οὐρανοῦ, ἀλλὰ τὸν «ἀπὸ Ναζαρέτ, ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς» καὶ τὰ ἑξῆς. Ὁρᾷς ὅτι ἄνθρωπος ἡνωμένος θεότητι ἐστὶν ὁ Χριστός;

Ἡνώθη δέ, οὐ πρότερον καθ' ἑαυτὸν ὑποστάς, ἀλλ' ἐν αὐτῷ τῷ Θεῷ ὑποστάς. Τὸν γὰρ Λόγον φαμὲν σαρκωθῆναι, καὶ διὰ τοῦτο τὴν σάρκα θεωθῆναι καὶ ἀχώριστον μεῖναι αὐτοῦ, διὰ τὸ ἐν αὐτῷ ὑποστῆναι. Ἐπεὶ οὖν οὐχ ὑπέστη καθ' ἑαυτὴν ἡ σάρξ, ἀλλ' ἐν τῇ τοῦ Λόγου ὑποστάσει ἔσχε τὴν ὕπαρξιν, διὰ τοῦτο μίαν ὑπόστασιν ἐν δυσὶ ταῖς φύσεσιν ὁμολογοῦμεν. Εἰ δ' ὁμολογοῦσι τὸν Χριστὸν Ἰακωβῖται ἐν σαρκὶ μὲν ἐλθεῖν καὶ ἐκ τῆς Παρθένου, εἰς μίαν δὲ συνελθεῖν τὰς δύο φύσεις, πάντως ἢ κατὰ φυρμὸν τοῦτο γέγονε καὶ σύγχυσιν ἢ κατὰ μεταβολὴν ἢ ἀποβολὴν τῆς μιᾶς ἢ κατὰ ἀφαίρεσιν. Ἀλλ' εἰ μὲν κατὰ φυρμὸν καὶ σύγχυσιν μία φύσις ἀπετελέσθη, οὔτε Θεὸς λοιπόν, οὔτε ἄνθρωπος ὁ Χριστός, ἀλλὰ τοιοῦτος, οἵους μυθεύονται Ἕλληνες ἥρωας, μᾶλλον δὲ ἐλεεινότεροι τῶν Ἑλλήνων εἰσί, καθ' ὅσον πληθυσμὸν ἐκεῖνοι μὲν ὁμολογοῦσι τῶν θεῶν αὐτῶν, οὗτοι δὲ καὶ τοῦ ἑνὸς ἐλάττωσιν. v || Πῶς δὲ καὶ ἐνδέχεται τὸ ἀσώματον τῷ σώματι, τὸ ἀπερίγραπτον τῷ περιγραπτῷ καὶ ὁ κτίστης τῷ κτίσματι συγκραθῆναι καὶ ἀλλοιωθῆναι; Τοῦτο γὰρ οὐδεμία οἰκονομία οὔτε οἰκεῖον Θεῷ, ὅπερ ἐπὶ μόνων τῶν ῥευστῶν καὶ ὑγροτέρων σωμάτων πολλάκις συμβαίνει, καὶ τοσοῦτον πλεῖον, καθ' ὅσον μᾶλλον καὶ τὴν συγγένειαν κέκτηνται. Εἰ δὲ καὶ τοῦτο δώσομεν, ὥστε σύνθετον ἐπὶ τούτου φύσιν γενέσθαι, τίνι φύσει ἔσται ὁμοία ἡ τοιαύτη φύσις; Χρὴ γὰρ τὴν φύσιν ἔχειν καὶ ἑτέρας ὑποστάσεις ὁμοειδεῖς, ἵνα μὴ ἡ αὐτὴ καὶ φύσις καὶ ὑπόστασις ὀνομάζοιτο.

7) Πράξ. 10, 37—38  14) ἐν τῇ ὤᾳ: κατὰ Νεστορίου  29) ἐν τῇ ὤᾳ: ἐνταῦθα κατασκευάζεται καὶ ὅτι ἐπὶ μὲν τῶν ἀνθρώπων, ἀνάγκη ὁμολογεῖν μίαν φύσιν, ὄντων ἁπάντων ὁμοειδῶν· ἐπὶ δὲ τοῦ Χριστοῦ οὐδαμῶς, οὐ γὰρ εἰσὶν ἕτεροι Χριστοὶ τοῦ αὐτοῦ εἴδους.

Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

Ὥστε ἀνάγκη πᾶσα ὁμολογεῖν τὰς δύο φύσεις ἐπὶ Χριστοῦ. Εἰ δέ, φασίν, μόνην τὴν ἀνθρωπότητα τραπῆναι εἰς θεότητα, καὶ αὖθις οὐδεμία οἰκονομία, ἀλλὰ τροπὴ τῶν δύο φύσεων, τῆς μὲν ἐκστάσης τῶν οἰκείων ἰδιωμάτων καὶ οἷον ἀφανισθείσης, τῆς δὲ προσθήκην δεξαμένης διὰ τῆς ἑτέρας καὶ οὕτως ἀλλοιωθείσης κατὰ τὴν ποσότητα, ὅπερ ἐπὶ τῶν περιγραπτῶν καὶ ἀτελῶν ἐνίοτε συμβαίνει. Εἰ δ' ἀπεβλήθη μὲν ἡ ἀνθρωπότης, ἔμεινε δὲ ὁ Λόγος ἀσώματος, καὶ τοῦτο αἰσχύνη εἰς Θεὸν καὶ ἀνθρώπους καὶ ἀφανισμὸς αὖθις τῆς ἀνθρωπότητος. Εἰ γὰρ ἐν τῷ Θεῷ Λόγῳ συνέστη ἡ ἀνθρωπότης καὶ καθ' ἑαυτὴν οὐκ ἔσχε τὴν ὑπόστασιν, δῆλον τοῦτο καὶ τῷ τυφλῷ, ὅτι καθ' ἑαυτὴν οὐ δύναται σταθῆναι, ἀλλ' ἢ ἀφανισθῆναι ἢ δ' οὖν ὅμως ἀλλοιωθῆναι. Ὥσπερ γὰρ πῦρ ἑνωθέν τινι ὕλῃ, εἶτ' ἀποσπασθέν, αὐτὸ μὲν ἀφανὲς γίνεται, ἡ δὲ παρ' αὐτοῦ ἐπιδραχθεῖσα ὕλη ἀλλοιοῦται καὶ φθείρεται, οὕτως ἂν συμβαίη κἀνταῦθα. Καὶ πῶς, φησίν, ἐπεὶ οὐκ ἔσχε τὸ σῶμα ἰδίαν ὑπόστασιν, ἐν ἰδίᾳ ὑποστάσει ἑωρᾶτο; Ἐπείπερ ἡ ἕνωσις νοητῶς γέγονεν, οὐκ αἰσθητῶς. Εἰ γὰρ διότι τὸ σῶμα ἥνωτο θεότητι, διὰ τοῦτο μὴ ὡρᾶτο, ἑπόμενον ἦν λοιπὸν καὶ τὴν θεότητα ὁρᾶσθαι διὰ τὴν πρὸς τὸ σῶμα κοινωνίαν, καὶ οὕτω πάλιν τροπὴ τῶν φύσεων, ἐκ τῶν ἐνεργειῶν δ' οὖν ὅμως ἑκάστης τῶν φύσεων κατελαμβάνετο. Εἰ δέ ἐγένετο τροπή, εἰπάτωσαν λοιπὸν καὶ πότε ἐγένετο; Εἰ γὰρ ἐν αὐτῇ τῇ ἑνώσει, οὐδόλως ἄνθρωπος γέγονε Θεός, εἰ δὲ μετὰ ταῦτα, καὶ τίς ἡ ἀνάγκη;

Ἀλλ' ὥσπερ ἀπεδείξαμεν, ὅτι ἄνθρωπος γέγονε Θεός, οὕτως ἀποδείξομεν, ὅτι καὶ μετὰ ταῦτα αὐτὸς διέμεινε. Καὶ δὴ καθ' ἑξῆς ἐχώμεθα τοῦ μετὰ ταῦτα ῥητοῦ, ὅπερ ἔφη Πέτρος περὶ Ἰησοῦ τοῦ Ναζωραίου. Τί οὖν φησιν; «Ὃν καὶ ἀνεῖλον κρεμάσαντες ἐπὶ ξύλου· τοῦτον ὁ Θεὸς ἤγειρε τῇ τρίτῃ ἡμέρᾳ καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι, οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ Θεοῦ, ἡμῖν, οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν· καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ καὶ διαμαρτύρασθαι, ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν». Καὶ ἀλλαχοῦ περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅτι «οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς Ἅδην, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. ‖ Τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ θεός, οὗ πάντες ἡμεῖς ἐσμεν f 243r
μάρτυρες». Καὶ μετά τινα· «ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ ὅτι καὶ Κύριον καὶ Χριστὸν ἐποίησεν ὁ Θεὸς αὐτόν, τοῦτον τὸν Ἰη-

**20) ἐν τῇ φᾳ : καὶ κατὰ Σεβελλίου καὶ Σαρακηνῶν  25) Πράξ. 10,39.—42**
**31) αὐτόθι 2, 31—32  36) αὐτόθι 2,36**

ΙΩΑΝΝΙΝΑ 2006

σοῦν ὃν ὑμεῖς ἐσταυρώσατε». Ἐν δὲ τῇ καθολικῇ αὐτοῦ ἐπιστολῇ αὖθις φησίν. «Ὅτι καὶ Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν ἔπαθε, δίκαιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς προσαγάγῃ τῷ θεῷ, θανατωθεὶς μὲν σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι». Τούτοις ἐχόμενον ἂν εἴη τὸ τοῦ Ἰωάννου, ὅ φησι. «Τίς ἐστιν ὁ νικῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστὶν ὁ υἱὸς τοῦ Θεοῦ; Οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος, Ἰησοῦς Χριστός». Εἰπάτωσαν οὖν οἱ ἄθλιοι, τὶς ὁ ἀναιρεθεὶς καὶ τὶς ὁ ἐγείρας; Τίνος τὸ μὲν σῶμα οὐκ εἶδε διαφθορὰν ἐν τῷ τάφῳ, ἡ δὲ ψυχὴ οὐκ ἐγκατελείφθη εἰς Ἅδην, εἰ μὴ Θεὸς καὶ ἄνθρωπος ἦν ὁ Χριστός; Καθ' ἃ δὴ καὶ Γρηγόριος Νύσσης ἐν τῷ εἰς τὸ ἅγιον Πάσχα λόγῳ φησί· «δι' ἀμφοτέρων τῆς θεότητος τὸ ἀγαθὸν ἐνεργούσης· διὰ μὲν γὰρ τῆς τοῦ σώματος ἀφθαρσίας, τὴν τοῦ θανάτου κατάλυσιν, διὰ δὲ τῆς ψυχῆς πρὸς τὴν ἰδίαν ἑστίαν ἐπειγομένης, τὴν πρὸς τὸν παράδεισον τῶν ἀνθρώπων ἐπάνοδον». Καὶ ὁ ἅγιος Ἐπιφάνιος Κύπρου εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου· «διὸ ἀνθρώπους μὲν ἐν σαρκὶ ὄντας, διὰ σαρκὸς ἐμψύχου ὁ Θεὸς Λόγος ἐπεσκέψατο· ψυχαῖς δὲ σωμάτων ἀπηλλαγμέναις διὰ τῆς ἐνθέου καὶ ἀχράντου αὐτοῦ ψυχῆς ἐπέφανε, σώματος ἀλλ' οὐ θεότητος ἀπηλλαγμένης». Καὶ Ἀθανάσιος, ἅπαντα κατὰ τὴν Γραφὴν ἀπαριθμῶν τῆς Χριστοῦ ἀνθρωπότητος, καὶ ταῦτα φησί· «Θανάτου ἐγεύσατο· ταφῇ παρεδόθη· γέγονεν ἡ ψυχὴ κατὰ τὸν Ἅδην καὶ κρατηθῆναι μὴ δυνηθεῖσα πάλιν ἀπεδόθη τῷ σώματι καὶ γέγονεν ἡ ἀνάστασις». Καὶ Κύριλλός που πρὸς Θεοδόσιον γράφων τὸν βασιλέα οὑτωσί. «Καὶ ἦν θαυμαστόν· ὅτι σῶμα μὲν ἀνεβίου τὸ τῇ φύσει φθαρτόν· ἦν γὰρ ἴδιον τοῦ ἀφθάρτου Λόγου· ψυχὴ δὲ δὴ πάλιν τὴν πρὸς αὐτὸν λαχοῦσα συνδρομήν τε καὶ ἕνωσιν καταπεφοίτηκε μὲν εἰς Ἅδου, θεοπρεπεῖ δὲ δυνάμει καὶ ἐξουσίᾳ χρωμένη καὶ τοῖς ἐκεῖσε πνεύμασι κατεφαίνετο. Ὥσπερ γὰρ τοῖς ἔτι μετὰ σαρκὸς συνανεστράφη μετὰ σαρκός, οὕτω καὶ ταῖς εἰς Ἅδου διεκήρυξεν, ἴδιον ἔχων φόρημα τὴν ἑνωθεῖσαν αὐτῷ ψυχήν. Καὶ βαθὺς μὲν ἴσως καὶ ἀπόρρητος ἀληθῶς καὶ ταῖς ἡμετέραις διανοίαις οὐχ ἁλώσιμος ὁ τῆς ἐνανθρωπήσεως τρόπος». Εἰ γὰρ καὶ φθαρτὸν σῶμα καὶ ψυχὴν καθ' ἡμᾶς ἀνέλαβεν ὁ Λόγος, καὶ κατὰ τοῦτο ἔπαθε καὶ ἀπέθανε καὶ ἐτάφη, ἀλλ' οὖν ὡς ἀχώριστα ὄντα αὐτοῦ καὶ

[2]) Α΄ Πέτρ. 3, 18 [4]) ἐν τῇ ὤᾳ: σαρκί, ἤγουν τῷ μέρει τῆς σαρκός, πνεύματι δέ, τουτέστι διὰ τὴν θεότητα [5]) Α΄ Ἰωάν. 5, 5 [8]) ἐν τῇ ὤᾳ: δῆλον ταῦτα καὶ κατὰ τῶν ἀγροίκως λεγόντων μετὰ τὴν ἐκ τάφου ἀνάστασιν κατελθεῖν τὸν Χριστὸν εἰς τὸν Ἅδην, ἀλλ' οὐ μετὰ τὸν σταυρόν.
[11]) Migne PG. 46, 617. [2]) Ψαλμ. 44,7 [15]) Migne PG. 43,453.

Ε.Υ. Ζ.Τ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μετὰ θάνατον καὶ ἀναμάρτητα καὶ ὅσον οὔπω μέλλοντα ἑνωθῆναι διὰ τῆς ἀναστάσεως, τὸ μὲν σῶμα οὐ μόνον οὐκ εἶδε διαφθοράν, ἤγουν σῆψιν, ἀλλὰ καὶ ἄφθαρτον, ἤγουν ἀπαθὲς διὰ τῆς ἀναστάσεως γέγονεν. Ἡ δὲ ψυχὴ αὐτοῦ οὐκ ἐγκατελείφθη εἰς Ἅδου, καὶ τὰς καθειργμένας ἀπ' αἰῶνος ἐκεῖ ψυχὰς συνέστησε, καὶ οὕτω δι' ἑαυτοῦ τὴν ἀφθαρσίαν || καὶ ἀθανασίαν ἡμῖν ἐνεκαίνισεν. Εἰ δὲ συναλοιφὴ γέγονε τῶν φύ- f 243v σεων ἐν Χριστῷ ἢ ἡ ἑτέρα τούτων ἠφαντώθη, πῶς σαρκὶ ἔπαθε; πῶς Κύριος καὶ Χριστὸς γέγονεν; Οὐκ εἶπεν ὁ Ἀπόστολος, ὅτι ὁ Θεὸς ἐποίησε Χριστὸν καὶ Κύριον τὸν Θεὸν ἢ τὸν Κύριον ἢ τὸν παντοκράτορα ἢ τὸν ποιητὴν καὶ ἄλλα ὅσα ὀνόματα αὐτῷ παρὰ τῇ θείᾳ Γραφῇ δηλωτικὰ ὄντα τῆς θεότητος, ἀλλὰ τὸν Ἰησοῦν, ὅπερ ἐτέθη αὐτῷ ὑπὸ τῶν γονέων ἐν τῇ περιτομῇ. Καὶ γὰρ ἀνοίκειον, μᾶλλον δὲ ἄθεον, Θεὸν ἀπὸ Θεοῦ ἢ καὶ ὑφ' ἑαυτοῦ Κύριον καθίστασθαι ἢ χρίεσθαι εἰς βασιλέα· καθ' ἃ δὴ καὶ Δαυῒδ φησί. «Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου». Ἔστι γὰρ τὸ προηγούμενον ὁ Θεὸς πρὸς δεύτερον πρόσωπον λεγόμενον, ὥσπερ δῆτα καὶ τὸ «ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Ὡσανεὶ ἔλεγεν: ὦ Υἱὲ Θεοῦ καὶ Θεέ, διὰ τοῦτο, ἤγουν διὰ τὸ εἶναι τὴν σὴν ἀνθρωπότητα ἀχώριστον τῆς θεότητος καὶ οἱονεὶ ὁμόθεον, ἔχρισέ σε ὁ σὸς Πατὴρ καὶ Θεὸς τῷ Ἁγίῳ Πνεύματι διὰ τοὺς μεθέξοντας πιστοὺς διὰ σοῦ ταύτης τῆς χάριτος καὶ ἐπωνυμίας. Θεὸς δὲ τοῦ Χριστοῦ ὁ Πατήρ, οὐχ ὡς ἐλάττονος, ἀλλὰ διὰ τὴν ἀνθρωπότητα, ὃν τρόπον καὶ αὐτὸς ὁ Χριστός φησιν. «Ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν». Ἐὰν γάρ, ὥς φασιν οἱ θεολόγοι, διέλῃς τὴν ἀνθρωπότητα κατ' ἐπίνοιαν, δούλη ἐστὶ τῆς θεότητος. Ὅτι δὲ περὶ τοῦ Χριστοῦ τουτό φησιν ὁ Δαυΐδ, δῆλον καὶ ἐξ αὐτοῦ τοῦ ψαλμοῦ καὶ ἐκ τῆς πρὸς Ἑβραίους τοῦ Παύλου ἐπιστολῆς, τοῖσδε τοῖς ῥητοῖς χρησαμένου κατ' ἀρχάς που τῆς ἐπιστολῆς, δῆλον δὲ καὶ ἀπ' αὐτοῦ τοῦ Χριστοῦ περὶ αὐτοῦ λέγοντος ἐκ τοῦ Ἡσαΐου· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με». Γέγονε δὲ Χριστὸς καὶ Κύριος ἐν αὐτῇ τῇ ἑνώσει, ὡς εἴρηται, μήτε τὸ εἶναι ἄνθρωπος ἀποβαλών, μήτε τὸ Θεός· ἀλλ' ὥσπερ βασιλεύς, εἰ χρυσῆν τινα φορέσῃ στολήν, κἂν τούτῳ εἴπωμεν ὅτι ὁ βασιλεὺς γέγονε χρυσὸς ἢ τὸ ἔμπαλιν ὁ χρυσὸς βασιλεύς, οὕτως ἐπὶ τοῦ Χριστοῦ παραδειγματικῶς μᾶλλον δεῖ νοεῖν. Ἐπεὶ οὐδὲν παράδειγμα ἐξαρκεῖ πρὸς τὴν ἄκραν καὶ ἀσύγχυτον ἐκείνην ἕνωσιν. Εἰ δὲ κατὰ φαντασίαν ἡ σάρκωσις, πῶς ἦλθε δι' ὕδα-

[23]) Ἰωάν. 20, 17 [29]) Ἡσ. 61,1 [34]) ἐν τῇ φα: κατὰ Μάνεντος.

Ε.Υ.Δ. της Κ.Τ. ΙΩΑΝΝΙΝΑ 2006

τος καὶ αἵματος; Εἰ κατὰ φαντασίαν, οὐκ ἂν παρεδίδου ἡμῖν τὸ μυστήριον τοῦ ἀχράντου σώματος αὐτοῦ καὶ αἵματος, λέγω τὸν προσφερόμενον ἅγιον ἄρτον καὶ τὸ ποτήριον εἰς ἀνάμνησιν αὐτοῦ, οὔτε τοῦ βαπτίσματος, οὔτε τινὸς ἄλλου. Εἰ κατὰ φαντασίαν, οὐκ ἂν ἐν τῷ αὐτῷ εἴδει ἐθεωρεῖτο πάντοτε πρὸ τῆς ἀναστάσεως· μετὰ γὰρ τὴν ἀνάστασιν ὤφθη ἐν ἑτέρᾳ μορφῇ, διὰ τὸ ἀλλοιωθῆναι τὴν θείαν ἐκείνην σάρκα, τὴν ξένην καὶ θαυμαστὴν ἀλλοίωσιν, ἤγουν ἀφθαρτισθῆναι καὶ ἀϋλοτέραν τινὰ γενέσθαι, λαμπροτέραν τε καὶ λεπτοτέραν, ὡς αὐτὸς μόνος οἶδε καὶ οἱ ἀξιωθέντες γενέσθαι υἱοὶ τοῦ Θεοῦ καὶ τῆς ἀναστάσεως, ὥστε μηδὲ φαίνεσθαι θέλοντα, || ὅπερ οὐκ ἂν πρὸ τοῦ· οὐκ ἠδυνήθη f 244r γάρ φησι λαθεῖν, δῆλον ὅτι κατὰ τὸ ἀνθρώπινον. Εἰ δὲ φασὶν οἱ αἱρετικοί, ὅτι ἄνθρωπος λέγεται ὁ Χριστὸς οὐ κατὰ τὴν φύσιν, ἀλλὰ καθ' ὃ ἐφάνη, ἴστωσαν ὅτι καὶ προφήταις ποτὲ αὐτός τε καὶ ὁ Πατὴρ ὡς ἄνθρωπος ὡράθη, ἀλλ' οὐ διὰ τοῦτο κληθεῖεν ἂν εἰκότως ἄνθρωποι. Καὶ τὸ Πνεῦμα ὡσαύτως ἐν εἴδει περιστερᾶς ὡράθη τῷ Ἰωάννῃ καὶ τοῖς Ἀποστόλοις ἐν εἴδει πυρίνων γλωσσῶν, ἀλλ' οὐ διὰ τοῦτο περιστερὰ ἢ γλῶσσα. Καὶ ἄλλως. Εἰ μὲν κατὰ τὸν καιρὸν μόνον, ἐν ᾧ πρῶτον ἐφάνη, ταῦτα ἐλέγετο, εἶχεν ἂν ἴσως χώραν ἡ τούτων ἐπίνοια· νῦν δὲ καὶ μετὰ τὴν γέννησιν καὶ μετὰ τὴν σταύρωσιν καὶ μετὰ τὴν ἀνάληψιν ἀνθρώπου ὀνομαζομένου καὶ ἡμῖν παραβαλλομένου καὶ συγκρινομένου οὐκ ἔστι τοῦτο εἰπεῖν. Καὶ ταῦτα, τῆς Γραφῆς σάρκα λεγούσης γεγονέναι τὸν Λόγον καὶ σαρκὶ παθεῖν καὶ ἀπαρχὴν γενέσθαι ἡμῶν καὶ ὅσα τοιαῦτα. Ποῖον δὲ καὶ βέλτιον εἰπεῖν, τὴν ἀνθρωπότητα παθεῖν ἢ τὴν θεότητα, κατὰ φαντασίαν πεποιηκέναι τὴν οἰκονομίαν τὸν Κύριον καὶ οἷον κατὰ ἀνυπαρξίαν καὶ δόκησιν ἢ κατὰ ἀλήθειαν; Κρεῖσσον τοῖς ἁγίοις Ἀποστόλοις ἕπεσθαι ἢ Ὠριγένῃ καὶ Μάνεντι, κρεῖσσον τῷ Ἀποστόλῳ Παύλῳ ἀνάστασιν ὁμολογοῦντι ἢ Ἰουδαίοις καὶ Ἕλλησι; Φησὶ γὰρ πρὸς Τιμόθεον. «Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυῒδ κατὰ τὸ εὐαγγέλιόν μου, ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος». Καὶ πρὸς Κορινθίους. «Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται· εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν· ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο. Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώ-

**[10]) ἐν τῇ κάτω ᾧᾳ: θέλοντα μὴ φαίνεσθαι δῆλον ὅτι. [28]) Β' Τιμ. 2, 8.**
**[31]) Α' Κορ. 15, 16 - 22.**

ΙΩΑΝΝΙΝΑ 2006

που ἀνάστασις ἐκ νεκρῶν. Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται, ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι». Καὶ πάλιν· «Εἴτε ἐξέστημεν, Θεῷ, εἴτε σωφρονοῦμεν, ὑμῖν· ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς, κρίναντας τοῦτο, ὅτι εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. Ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα· εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. Ὥστε εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τά πάντα καινά». Ἐνταῦθα καὶ τὴν ἀφθαρσίαν ἡμῖν παριστᾷ. Ὥσπερ γὰρ οἱ εἰς Χριστὸν πιστεύσαντες καὶ βαπτισθέντες, οὐκέτι ἑαυτοῖς ζῶσιν, ἀλλ᾽ ἐν Χριστῷ, ἀποθέμενοι τὸν παλαιὸν ἄνθρωπον ἐν τῷ ὕδατι, νοητῶς καθαρθέντες καὶ ἀνα || γεννηθέντες καὶ ἐν σώματι φθαρτῷ τὰ προοίμια ἤδη τῆς f 244v ἀφθαρσίας ἔχοντες, ὡς μηδὲν πρόσκαιρον ἢ φθαρτὸν φανταζόμενοι, ἀλλὰ τὸν νοῦν μεταθέντες εἰς τὰ ἐν οὐρανοῖς ἀποκείμενα ἀγαθά, καὶ διὰ τοῦτο οὐκέτι εἰσὶ κατὰ σάρκα, οὕτω καὶ ὁ Χριστός, εἰ καὶ δι᾽ οἰκονομίαν καὶ τὴν τῆς σαρκὸς ἀσθένειαν, τὰ τῆς σαρκός ποτε ἔπραττεν, ἀλλ᾽ οὖν ἄρτι τούτων παυσαμένων, οὐκέτι ἐν σαρκὶ εἶναι λέγεται, ἐν σαρκὶ ὢν ἀφθάρτῳ. Καὶ τοῦτο δηλοῖ τὸ ἐπαγόμενον, «εἴ τις ἐν Χριστῷ καινὴ κτίσις», τουτέστιν ἅπαντες οἱ κτισθέντες ἐν Χριστῷ καινοὶ γεγόνασιν ἢ ἅπασα ἡ κτίσις ἐν Χριστῷ καινὴ γέγονεν, ὡς τὰ προοίμια τῆς ἀφθαρσίας ἤδη λαβοῦσα. Πρὸς τοῦτο συμβάλλεται καὶ τό, «ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός· ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ», καὶ τὰ ἑξῆς, καὶ ἐπάγει. «Τοῦτο δὲ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν». Ὅτι δὲ τοῦτο βούλεται τῷ Ἀποστόλῳ, ἤγουν ἡ ἀφθαρσία, οὐχ ἡ ἀποβολὴ τοῦ σώματος, οὐ μόνον ἐντεῦθεν δῆλον, ἀλλὰ καὶ ἐξ ἑτέρων πολλῶν τῶν αὐτοῦ. Εἰπὼν οὖν σαφῶς τὸν ποιὸν πρῶτον ἄνθρωπον, ἐδήλωσε καὶ τὸν δεύτερον, εἰπὼν ὁ Κύριος ἐξ οὐρανοῦ, οὐχ ὁ ἄνθρωπος ἐξ οὐρανοῦ, ἀλλ᾽ ὁ Κύριος, ὁ αὐτὸς οὐράνιος ὢν καὶ ἐπίγειος, ὡς λέλεκται, διὰ τὸ ὁμοϋπόστατον. Ὡσαύτως δεῖ νοεῖν καὶ τὸ «εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν»· κατὰ τὴν σάρκα γάρ, οὐ κατὰ τὴν θεότητα. Καὶ πρὸς Ῥωμαίους ὁ αὐτὸς Ἀπόστολος φησίν. «Ὃ γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ, ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ». Ταῦτα συνδοκεῖ καὶ Γρηγορίῳ θεολο-

[5]) **Β΄ Κορ. 5, 13 - 17.** [23]) **Α΄ Κορ. 15, 47.** [24]) **Αὐτ. 50.** [32]) **Α΄ Κορ. 2, 8.**
[34]) **Ῥωμ. 6,10**

Ε.Υ.Δ. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

γοῦντι. Ἀλλ' οἱ αἱρετικοὶ τοσοῦτον ἀπηνεσχύντησαν κατὰ τοῦ Θεοῦ, ὥστε καὶ ἐν τῷ τρισαγίῳ προσθεῖναι τὴν βλασφημίαν αὐτῶν λέγοντες, «ἅγιος ἀθάνατος ὁ σταυρωθεὶς δι' ἡμᾶς», ἢ καὶ τοῖς τρισὶ προσώποις προσάπτοντες τὸ πάθος ἢ μόνῳ τῷ Ἁγίῳ Πνεύματι, κατὰ τὸν συνήθη ἀριθμὸν τῶν ὑποστάσεων. Διὰ γὰρ τὸ μὴ προταχθῆναι καὶ ἐν τοῖς ἐφεξῆς δυσὶν ὀνόμασι τὸ ἄρθρον, δύναται νοεῖσθαι καὶ οὕτω καὶ οὕτω, τοῦ ἄρθρου ἔξωθεν νοουμένου ἢ τοῦ καὶ συνδέσμου. Ἀλλὰ ταῦτα μὲν Ἑλλήνων παισὶ καταλείψωμεν, οἵτινες οὐ μόνον Θεὸν ὑπὸ μείζονος Θεοῦ λέγουσι πάσχειν καὶ καταβάλλεσθαι, ἀλλὰ καὶ ὑπὸ ἐλαττόνων θεῶν τε καὶ ἀνθρώπων βάλλεσθαί τε καὶ τιτρώσκεσθαι τοὺς θεοὺς αὐτῶν.

Ὅτι δὲ οὐδὲ μετὰ τὴν ἀνάστασιν ἀπέθανε τὴν σάρκα ὁ Κύριος ἡμῶν, αὐτός ἐστιν ὁ μαρτυρῶν περὶ αὐτῆς λέγων πρὸς Ἰουδαίους· «λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»· διὸ καὶ μετὰ || τὴν ἔγερσιν λέγει τοῖς μαθηταῖς. «Ψηλαφήσατέ με καὶ ἴδετε,
f 245r ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα». Καὶ γὰρ εἰ καὶ μετὰ τὴν ἀνάστασιν οὐχ ὑπέκειτο τοῖς αὐτοῖς πάθεσιν, ἀλλ' οὖν διὰ τὸ πιστεῦσαι τοὺς μαθητὰς καὶ μᾶλλον τὸν Θωμᾶν, ὅτι ἀνέστη καὶ μὴ δόξαι φαντασίαν, ταῦτα ᾠκονομήθη· ἔλεγε γὰρ δι' ἁπαλότητα ψυχῆς ὁ μαθητής, ὅτι «ἐὰν μὴ ἴδω τοὺς τύπους τῶν ἥλων, οὐ μὴ πιστεύσω»· καὶ ἵνα ἐπιστομήσῃ τοὺς λέγοντας ἕτερον ἀνίστασθαι σῶμα ἀνθ' ἑτέρου, αὐτὸ τὸ τρωθὲν σῶμα καὶ μετὰ τὴν ἀνάστασιν ὤφθη. Τί οὖν ἔτι λείπεται, εἰμὴ ἵνα ἀποδείξωμεν, ὅτι καὶ μετὰ σώματος ἀνελήφθη καὶ μετ' αὐτοῦ ἐλεύσεται τὸ δεύτερον καὶ ὁ αὐτὸς διαμενεῖ εἰς τοὺς αἰῶνας. Ἀλλ' ὅτι μετὰ σώματος ἀνελήφθη, δῆλον· διὰ τοῦτο γὰρ ἀνέστη, καὶ ἐν τοῖς εὐαγγελίοις φέρεται. Σαφέστερον δὲ τοῦτο Λουκᾶς ἐν ταῖς Πράξεσιν ἱστορεῖ λέγων. «Καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς, ἤτοι τοῖς Ἀποστόλοις, ἐν ἐσθῆτι λευκῇ, οἳ καὶ εἶπον· ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς, ὁ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν». Καλῶς δὲ καὶ τὸ τοπικὸν ὄνομα προσετέθη τῶν Ἀποστόλων καὶ τὸ τοῦ Κυρίου κατὰ σάρκα Κύριον, ὡς ἵνα εἴποι· οὗτος ὁ Ἰησοῦς ὁ Γαλιλαῖος, ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν τῶν Γαλιλαίων εἰς τὸν οὐρανόν, οὐκ ἐκτὸς αὐτοῦ, οὕτως αὖθις ἐλεύσεται μετὰ σώματος. Ἄκουσον δὲ

[13]) Ἰωάν. 2,19 [15]) Λουκ. 24,39 [20]) Ἰωάν. 20,25 [27]) Πράξ. 1,10

καὶ τοῦ Ἀποστόλου λέγοντος πρὸς Ἑβραίους. «Ὅπως εἰς τὸ ἐνδότερον τοῦ καταπετάσματος πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς κατὰ τὴν τάξιν Μιλχεσεδέκ, ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα». Δῆλον οὖν, ὅτι ὡς ἄνθρωπος γέγονεν ἀρχιερεὺς καὶ ὡς ἄνθρωπος προέδραμεν ἡμῶν ὑπὲρ ἡμῶν τῶν ἀνθρώπων, ὡς γὰρ Θεὸς οὐδέποτε ἐκεῖθεν ἔλειπε, καὶ ὅτι κατὰ τὴν τάξιν τῆς ἱερατείας μένει εἰς τὸν αἰῶνα. Καὶ πάλιν. «Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας»· διὰ μὲν τοῦ «χθές», τὸν πρὸ τοῦ σταυροῦ καιρὸν αἰνιττομένου, διὰ δὲ τοῦ «σήμερον», τὸν μετὰ τὴν ἀνάστασιν καὶ ἀνάληψιν, διὰ δὲ τοῦ λοιποῦ, τὸν μέλλοντα καὶ ἀτελεύτητον. Τὸ δὲ ὑπὸ τῆς πρώτης καὶ τῆς δευτέρας συντεθὲν ἁγίας Συνόδου Σύμβολον, καὶ ὑπὸ τῶν λοιπῶν οἰκουμενικῶν Συνόδων βεβαιωθέν, πῶς ἂν ἀθετήσειέ τις ὑπὸ τοσούτων ἁγίων κατὰ διαφόρους καιροὺς βεβαιωθέν, εἰ μή τις καὶ αὐτὴν τὴν εἰς Χριστὸν πίστιν ὅλως ἀθετῆσαι θέλοι; Τίς ἂν ἀρνηθείη, ὅτι οὐκ ἐμπεριέχεται τούτῳ, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἐκ τῆς ἁγίας Παρθένου ἐνεργείᾳ θεία ἐσαρκώθη καὶ οὕτως ἐσταυρώθη καὶ ἔπαθε καὶ ἐτάφη καὶ ἀνέστη καὶ ἀνελήφθη καὶ πάλιν αὐτὸς ἐλεύσεται || εἰς τὸ f 245v
κρῖναι ζῶντας καὶ νεκρούς, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος; Καὶ πολλοὺς ἔχομεν τῶν Ἁγίων τὰ αὐτὰ ἐμπεδοῦντας, οἷός ἐστι καὶ ὁ ἅγιος Εὐφραὶμ ἐν τῇ μεταμορφώσει τοῦ Σωτῆρος λέγων οὕτως. «Εἰ οὐκ ἦν ἄνθρωπος, πῶς τάδε ἐπ' αὐτῷ γέγονε; καὶ εἰ οὐκ ἦν Θεός, πῶς τάδε»; Πλὴν ἅπαντα καταλείψαντες, ἵνα μὴ μόνον τὴν ἀκοὴν τῶν αἱρετικῶν βαρύνωμεν καὶ μᾶλλον ἀγριαίνωμεν, μετὰ Γρηγορίου τοῦ Θεολόγου εἴπωμεν, λέγοντος ἐν τῇ πρὸς Κληδόνιον πρεσβύτερον ἐπιστολῇ οὕτως. «Εἴ τις οὖν οὐ θεοτόκον τὴν ἁγίαν Μαρίαν ὑπολαμβάνει, χωρὶς ἔσται τῆς θεότητος. Εἴ τις ὡς διὰ σωλῆνος τῆς Παρθένου διαδραμεῖν, ἀλλὰ μὴ ἐν αὐτῇ διαπεπλάσθαι λέγει θεϊκῶς ἅμα καὶ ἀνθρωπικῶς· θεϊκῶς μέν, ὅτι χωρὶς ἀνδρός, ἀνθρωπικῶς δέ, ὅτι νόμῳ κυήσεως, ὁμοίως ἄθεος. Εἴ τις ἀποτεθεῖσθαι νῦν τὴν σάρκα λέγει, καὶ γυμνὴν εἶναι τὴν θεότητα τοῦ σώματος, ἀλλὰ μὴ μετὰ τοῦ προσλήμματος καὶ εἶναι καὶ ἥξειν, μὴ ἴδοι τὴν δόξαν αὐτοῦ. Εἴ τις λέγει τὴν σάρκα ἐξ οὐρανοῦ κατεληλυθέναι, ἀλλὰ μὴ ἐντεῦθεν καὶ παρ' ἡμῶν, ἀνάθεμα ἔστω».

1) Ἑβρ. 6, 19 7) Ἑβρ. 13, 8 18) ἐν τῇ κάτω ᾤᾳ: τὸ λέγειν ἀποτεθεῖσθαι τὴν σάρκα ἐν τῷ αἰθέρι, καὶ κατὰ Νεστοριανῶν ἐστι καὶ ὑπὲρ αὐτῶν μᾶλλον· καὶ κατ' αὐτῶν μέν, ὅτι πρὸ τούτου ἥνωται τῷ Θεῷ Λόγῳ ἡ σάρξ, ὑπὲρ αὐτῶν δέ, ὅτι κεχωρισμένη ἔμεινε 30) ἐν τῇ ᾤᾳ: δῆλον, ταῦτα ἅπαντα κατὰ Νεστοριανῶν καὶ Μονοφυσιτῶν 25) Πρὸς Κληδόνιον Πρεσβύτερον, κατὰ Ἀπολιναρίου, Ἐπιστολὴ Α', παρὰ Migne PG. 37, 177. 181.

# XIII

# ΠΕΡΙ
# ΤΗΣ ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ ΚΑΙ ΤΩΝ ΣΑΡΑΚΗΝΩΝ ΠΙΣΤΕΩΣ
f 222r **ΠΡΟΣ ΤΙΝΑΣ**

Ὅταν μὲν ἀναλογίσωμαι τοὺς παλαιοὺς ἐκείνους θείους ἄνδρας ἐκ τῶν κατ' ἐκείνους ὑπὲρ μέλι ἡδυτέρων συνταγμάτων, παραβάλω δὲ τούτοις τὴν ἡμετέραν εὐτέλειαν καὶ ῥυπαρίαν ὅλος καταπίπτω καί τις μεταμέλειά μοι ὑπεισέρχεται, ἐφ' οἷς τολμηρῶς καὶ ἀσόφως ἐξυπηρέτησά ποτε θείοις δόγμασιν, ὡς οὐκ ἔδει διακονηθεῖσι, μή τοί γε τῷ μετὰ ταῦτα ἐπιχειρεῖν τοιαῦτα. Ἀλλ' ὅταν αὖ γε τοὺς τὰ πλείονα τῶν ταλάντων διπλασιάσαντας ἀκούσω ἐπαινουμένους, κατακεκριμένον δὲ τὸν τὸ ἁπλοῦν φυλάξαντα, τήν τε χήραν ἐκείνην τὴν ἐνδεᾶ ὑπὲρ τοῦ κοδράντου ἐπαινουμένην, καὶ τοῦ νόμου κελεύοντος ἐλεγμῷ ἐλέγχειν τὸν πλησίον καὶ οὐ λήψεσθαι δι' αὐτὸν ἁμαρτίαν, δέος ἅμα καὶ ἐλπίς μοι ἐπεισέρχεται καὶ διανίσταμαι εἰς διάλογον ὑπὲρ τοῦ Λόγου ὁ ἄλογος καὶ ἀντιπαρατάττεσθαι τῷ μεγαλαύχῳ ὁ ἀσθενὴς ἀλείφομαι καὶ χρέος πῶς τὴν ἀντιπαράταξιν εἰσάγω, λογιζόμενος ὅτι εἰ καὶ ἡ ἀλήθεια, καὶ καθ' αὑτὴν ἰσχυρὰ καὶ πάσης ἀποδείξεως διαλεκτικῆς τέχνης τε λογικῆς ἀνωτέρα, δέεται δ' οὖν ὅμως καὶ τῆς ἡμετέρας ῥοπῆς διὰ τὴν πρὸς αὐτὴν καὶ τὸν ἔγγιστα εὐγνωμοσύνην, εἴπερ καὶ βασιλεῖς πενήτων ἕνεκα μικρᾶς φιλοτιμίας τὰ μέγιστα πολλάκις ἀντιχαρίζονται. Καὶ γὰρ ἄδικον τοὺς μὲν τοῦ Παλαμναίου ὑπηρέτας ὁσημέραι καθυπηρετεῖν ἐπιμελῶς τε καὶ ἐριστικῶς τοῖς τούτου βουλεύμασι καὶ τεχνάσμασιν, ἡμᾶς δὲ τοὺς δῆθεν ὑπὲρ τοῦ Λόγου κινδυνεύοντας καὶ μακρὰς πορείας στελλομένους ἠρεμίαν ἄγειν καὶ ἡσυχίαν ὁπόταν δῇ τι συνεισενεγκεῖν, καίτοι οὐ πρὸς πλῆθος ὁ λόγος ἀμφίθετόν τε καὶ μαχόμενον, ἀλλὰ πρὸς ἄνδρα σοφὸν καὶ τῆς Χριστοῦ ποίμνης σύννομον. Συνυπαχθέντα δ' οὖν τοῖς τὸν λύκον καλύπτουσι τῇ τοῦ ἀνομοίου
f 222v δορᾷ || μιμούμενος κἂν τούτῳ Λουκᾶν, ὅστις καὶ ὑπὲρ ἑνὸς ἀνδρὸς ἀρίστου πρῶτόν τε καὶ δεύτερον λόγον ἐπονήσατο, εἰ καὶ μετὰ ταῦτα εἰς πολλῶν ὠφέλειαν τὰ γραφόμενα ἐξέβησαν. Ὑπόσχου οὖν μοι σὸν οὖς, ὦ ἀδελφῶν φίλτατε, καὶ ὥσπερ τοὺς τοῦ ὄφεως ὑπεδέξω προσηνῶς καὶ οὐχ ὡς ὤφελες λόγους, οὕτως ἀσμένως καὶ δεόντως τοὺς διὰ Χριστόν σοι προσαγομένους εἰσδέδεξο, ἵνα γνῷς ὅσην μὲν ἐκεῖνοι τὴν

[1]) Κῶδ. Ἀμβρ. 290 fol. 222r—237r.   [25]) ἐν τῇ φᾳ: ἀντίθετον.

Ε.Υ.Δ. ... Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006